φιλίαν ἐμπεσόντες; σχεδὸν γὰρ οὐδὲν διαφέρομεν ἀνθρώπου C κολοβοῦ καὶ τυφλοῦ, φοβουμένου μὴ Βριάρεως ὁ ἑκατόγχειρ καὶ Ἄργος ὁ πανόπτης γένηται. καίτοι τόν γε παρὰ τῷ Μενάνδρῳ (fr. 554) νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν εἰπόντα ‘θαυμαστὸν ὅσον νομίζειν ἀγαθὸν ἕκαστον, ἂν ἔχῃ φίλου σκιάν’

2. †Αἴτιον δὲ μετὰ πολλῶν ἄλλων οὐχ ἥκιστά γ’ εἰς φιλίας κτῆσιν ἡ τῆς πολυφιλίας ὄρεξις, ὥσπερ ἀκολάστων γυναικῶν τὸ πολλάκις καὶ πολλοῖς συμπλέκεσθαι, τῶν πρώτων κρατεῖν μὴ δυναμένης ἀμελουμένων καὶ ἀπορρεόντων· μᾶλλον δ’ ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν (Eur. Hyps. fr. 754 Suppl. Eur. p. 56, 16)

‘ἕτερον ἐφ’ ἑτέρον αἰρόμενος D
ἄγρευμ’ ἀνθέων ἡδομένᾳ ψυχᾷ
τὸ νήπιον ἄπληστον ἔχων’,

οὕτως ἕκαστον ἡμῶν διὰ τὸ φιλόκαινον καὶ ἀψίκορον ὁ πρόσφατος ἀεὶ καὶ ἀνθῶν ἐπάγεται, καὶ μετατίθησι πολλὰς ὁμοῦ καὶ ἀτελεῖς ἀρχὰς πράττοντας φιλίας καὶ συνηθείας, ἔρωτι τοῦ διωκομένου παρερχομένους τὸ καταλαμβανόμενον.

Πρῶτον μὲν οὖν ὥσπερ ἀφ’ ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου φήμης ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν, τὸν μακρὸν καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον λάβωμεν, ἐν ᾧ κατὰ ζεῦγος φιλίας λέγονται Θησεὺς καὶ Πειρίθους, Ἀχιλλεὺς καὶ Πάτροκλος, Ὀρέστης καὶ Πυλάδης, Φιντίας E καὶ Δάμων, Ἐπαμεινώνδας καὶ Πελοπίδας. σύννομον γὰρ ἡ φιλία ζῷον, οὐκ ἀγελαῖον ἐστιν οὐδὲ κολοιῶδες, καὶ τὸ ἄλλον